Μν. Ψυχαὶ δὲ πολλαὶ δι᾽ ἐμ᾽ ἐπὶ Σκαμανδρίαις Ῥοαῖσιν ἔθανον. Γυν. ὤφελες δὲ καὶ σύγε. A

*MN. Animæ autem multæ propter me in Scamandrijs Fluentis perierunt. MVL. Vtinam verò tu quoque.*

Μν. Κἀγὼ μὲν ἐνθάδ᾽ εἰμ᾽. ὁ δ᾽ ἄθλιος πόσις Οὑμὸς Μενέλαος οὐδέπω προσέρχεται.

*MN. Et ego quidem hîc sum, miser verò maritus Meus Menelaus nondum accedit.*

Τί οὖν ἔτι ζῶ τῶν κοράκων πονηρίᾳ. B

*Quid igitur amplius viuam coruorum improbitate?*

Ἀλλ᾽ ὥσπερ αἰκάλλει τι καρδίαν ἐμήν.

*Sed quasi blanditur quædam res cordi meo,*

Μὴ ψεῦσον ὦ Ζεῦ τῆς ἐπιούσης ἐλπίδος.

*Ne frustreris ô Iupiter superuentura spe.*

BOVRDINVS. Νείλου.] ἐνταῦθα ὁ Μνησίλοχος ὑποκρίνεται καὶ μιμεῖται ταύτην τὴν καινὴν περὶ Ἑλένης τραγῳδίαν. μέμνηται δὲ Νείλου τοῦ Αἰγυπτίου ποταμοῦ ὅστις θαυμαστῶς πως κατακλύζει πᾶσαν τὴν Αἴγυπτον καὶ ταύτην μαλακὴν εὐτρεπῆ τε παρέχει πρὸς τὸ καταβάλλεσθαι τὰ σπέρματα καὶ ἀρωθῆναι. Καλλιπάρθενοι ῥοαί.] λαμπραὶ αἱ ῥοαὶ τοῦ Νείλου. Ὃς ἀντὶ Δίας.] τουτέστι οὐρανίας. Ψακάδος.] ὑετοῦ βρέγματος, σταλαγμοῦ, ὃ καταβαίνει ἐκ τοῦ πολλοῦ ὑετοῦ οὐρανίου. Νοτίζει.] κατακλύζει. Μελανοσυρμαῖον.] τουτέστι Αἰγύπτιον μέλανα καὶ συρμαιζόμενον. τουτέστι καθαιρόμενον λεὼν Αἰγυπτίων. συρμαία δὲ ἦν ἔκπωμα καθαρτικὸν δι᾽ ἐμέτων καὶ κοιλίας καὶ ἀγών τις ἦν ἐν Λακεδαίμονι ἔπαθλον ἔχων συρμαίαν ἥπερ ἦν βρωμάτιον διὰ στέατος καὶ μέλιτος. ἐλέγετο δὲ καὶ συρμαισμὸς, καὶ ἦν πρὸς κάθαρσιν πῶμα δι᾽ ὕδατος καὶ ἁλῶν. καὶ σύρματις στρατιὰ ἐκαλεῖτο, ἢ τὰ συμψήματα καὶ φρύγανα σύρουσα, καὶ συλλέγουσα. καὶ συρμίον λαχανόν τι σελίνῳ ἐοικὸς, καὶ συρμιστὴρ ξυλοπώλης. Πανοῦργος.] κακοῦργος καὶ μιαρὸς ἡ γυνὴ ἀεὶ κατηγορεῖ τῆς κακίας καὶ πονηρίας τοῦ Μνησιλόχου. ἐκεῖνος δὲ ὡς ἄλλοτι πράττων μιμεῖται χ᾽ ὑποκρίνεται τὴν τραγῳδίαν τὴν περὶ Ἑλένης. Οὐκ ἀνώνυμος] εὐώνυμος. Ὤλεθρε.] ὠλέθριε καὶ ἐπάρατε. Γυναικίσεως] τῆς τῶν γυναικῶν ψευδοπροσποιήσεως, καὶ διαψευδοῦς μιμήσεως. Ψυχαί.) ἄνδρες γὰρ πολλοὶ ἀπέθανον παρ᾽ ὄχθας καὶ ῥοὰς Σκαμάνδρου. Ὤφελε] εἴθε ἂν καὶ σὺ ἀπέθανες. Τῶν κοράκων πονηρίᾳ.) διὰ τὴν τῶν κοράκων πονηρίαν. οἵπερ ὄφελον με κατεδηδέσθαι. Αἰκάλλει.) ἐπεγείρει, ἐποτρύνει, παραμυθεῖται τὴν ἐμαυτοῦ ψυχὴν, ἐμβάλλει τε τὴν ἐλπίδα. Ψεῦσον.) ἐξαπάτησον ἐμὲ καὶ ἐξελοῦ τὴν ἐπιοῦσαν ἐλπίδα. Ὡς Περσεύς.) Εὐριπίδης ὑποκρίνεται δὴ ὡς Μενέλαος προσφθεγγόμενος τὴν Ἑλένην. C D E

BISETVS. Νείλου μὲν αἵδε.] ὁ Μνησίλοχος ἑαυτὸν Ἑλένην τὴν Μενελάου γυναῖκα εἶναι σκήπτεται, καὶ αὐτὴν λαλοῦσαν μιμεῖται. ὅπερ καταμαθὼν ὁ Εὐριπίδης, καὶ αὐτὸς Μενέλαον ἑαυτὸν εἶναι προσποιεῖται ἵνα ταύτῃ τῇ τέχνῃ τὸν Μνησίλοχον ἐκ τῶν χειρῶν τῶν γυναικῶν ἐξέλοι. F ταῦτα δὲ ἐκ τοῦ προλόγου τῆς Ἑλένης τοῦ Εὐριπίδου, ἐν ᾧ ψεκάδος γράφεται. ἀλλὰ ταυτὸ δύναται τῷ ψακάδος. ὁ γὰρ ἑξῆς στίχος οὕτω γράφεται,

Λευκῆς τακείσης χιόνος, ὑγραίνει γύας.

ἀντὶ δίας ψακάδος λέγει, ὅτι ἐν τῇ Αἰγύπτῳ ὁ Ζεὺς οὐχ ὕει, ἀλλ᾽ ὁ Νεῖλος τῷ ἑαυτοῦ ὕδατι κατά τινας ἔτους ὥρας πλημμύρων πᾶσαν τὴν Αἴγυπτον βρέχει. Ἄλλως. ἡ Αἴγυπτος κατ᾽ ἔτος οὐκ ὄμβροις, καὶ ὑετοῖς οὐρανίοις ἄρδεται, ἀλλὰ τοῦ Νείλου τῇ πλημμύρᾳ βρέχεται, καὶ τοῖς αὐτοῦ ἰλυώδεσιν ὕδασιν ὑγραίνεται, καὶ πιαίνεται. Λευκῆς νοτίζει.] Ἡσύχιος. λευκὴ, θάλασσα ἡ κατακλυζομένη. παραπλησίως οὖν καὶ ἐνταῦθα λευκὴ τὸ τοῦ ποταμοῦ κατακλυζόμενον ὕδωρ οὐκ ἀπιθάνως σημανεῖ. χαριέντως δὲ ταῦτα ἀλλήλοις ἀντιτίθεται, λευκὴ, καὶ μελανοσυρμαῖον. τὸ δὲ νοτίζειν, ὑγραίνειν, καὶ νότιος, ὑγρός. ὁ γὰρ Νότος, ἄνεμος τοιοῦτος διὰ τὴν νοτίαν, ἤγουν ὑγρασίαν, ἣν τῇ ἑαυτοῦ πνοῇ φέρει. μελανοσυρμαῖον δὲ, περιφραστικῶς τοὺς Αἰγυπτίους, μέλανας ὄντας, καὶ συρμαϊζομένους οὕτω καλεῖ. συρμαία δὲ κρίθινόν τι πόμα, ὥπερ οἱ Αἰγύπτιοι χρῶνται. Σ. Ἑκάτην φωσφόρον] οἱ ποιηταὶ τὴν Περσεφόνην, τὴν Ἑκάτην, τὴν Φοίβην, τὴν Ἄρτεμιν, καὶ τὴν Εἰλείθυιαν τὴν αὐτὴν θεὸν εἶναι νομίζουσι. διὸ καὶ νῦν τὴν Ἑκάτην φωσφόρον καλεῖ. Ἐμοὶ δὲ γῆ μέν.] ἐν τῷ τοῦ Εὐριπίδου Ἑλένης προλόγῳ ταῦτα οὕτως ἔχει,

Ἡμῖν δὲ, γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος
Σπάρτη. πατὴρ δὲ Τυνδάρεως. ἔστι δὲ δὴ
Λόγος τις, ὡς Ζεὺς μητέρ᾽ ἔπτατ᾽ εἰς ἐμὴν
Λήδαν, κύκνου μορφώματ᾽ ὄρνιθος λαβών.

Τυνδάρεως.] ὃς καὶ Τυνδάρης λέγεται, υἱὸς Οἰβάλου ὃς ἦρχε τῶν Λακεδαιμονίων. Φρυνώνδας.] ἔστι τῶν τῶν ἐπὶ πονηρίᾳ διαβεβοημένων, ὃς ξένος ὢν κατὰ τὰ Πελοποννησιακὰ διέτριβεν Ἀθήνησιν. Ἀριστοφάνης Ἀμφιαρέῳ,

Ὦ μιαρὲ, καὶ Φρυνώνδα, καὶ πονηρὲ σύ.

ἐκ τούτου τοὺς πονηροὺς Φρυνώνδας καλοῦσι. κακοήθης ὁ Φρυνώνδας. ἔστι καὶ πανοῦργος μισθοῦ τινας μηχανὰς πραγμάτων ἐπὶ κακοῖς ῥᾳδίως συντιθεὶς, ὥς φησιν Εὔδημος. καὶ αὖθις. ἀλλ᾽ οἶμαι οὔτε Φρυνώνδας, οὔτε Εὐρύβατος, οὐδ᾽ ἄλλος πώποτε τῶν πάλαι πονηρῶν. ἔστι μάγος, καὶ γόης. Σ. Ἑλένη δ᾽ ἐκλήθην.] καὶ τοῦτο ἐκ τοῦ αὐτοῦ προλόγου. γυναίκισιν δὲ καλεῖ τὴν γυναικείαν μίμησιν. Ὤφελες δέ.] θανεῖν δηλονότι. οὕτω γὰρ τὸ ὤφελον συντάσσεται. ὤφελον ἐγὼ θανεῖν, ὤφελες σὺ θανεῖν, ὤφελεν ἐκεῖνος θανεῖν. Αἰκάλλει.] θωπεύει, κινεῖ, προτρέπεται. σαίνει. ὁ νοῦς. ἀλλ᾽ ἔστι τι, ὃ τὴν μου καρδίαν πως θωπεύει, καὶ κινεῖ. Ἄλλως. ἔχω ἐλπίδα τινὰ, ἢ τὴν ἐμὴν καρδίαν θάλπει, θωπεύει, κινεῖ. ἀλλ᾽ ὦ Ζεῦ μὴ ψεῦσον ἐμὲ τῆς ἐπιούσης ἐλπίδος, ἣν ἔχω.

ΕΥΡΙΠΙΔΗΣ ὡς ΜΕΝΕΛΑΟΣ. G

EVRIPIDES TANQVAM Menelaus.

Τίς τῶνδ᾽ ἐρυμνῶν δωμάτων ἔχει κράτος

*Quis harum occlusarum ædium habet imperium*